# 137. THE RICH YOUNG MAN (Matt-Mark Identical)

| Matt 19:16-30 | Mark 10:17-31 |
|---|---|
| *19·16 Καὶ* | *10·17 Καὶ ἐκπορευομένου αὐτοῦ<br>εἰς ὁδὸν* |
| *ἰδοὺ εἷς προσελθὼν αὐτῷ* | *προσδραμὼν εἷς* |
| | *καὶ γονυπετήσας αὐτὸν<br>ἐπηρώτα αὐτόν,* |
| *εἶπεν,* | |
| *Διδάσκαλε, τί ἀγαθὸν ποιήσω* | *Διδάσκαλε ἀγαθέ, τί ποιήσω* |
| *ἵνα σχῶ ζωὴν αἰώνιον* | *ἵνα ζωὴν αἰώνιον κληρονομήσω* |
| *19·17 ὁ δὲ εἶπεν αὐτῷ,* | *ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ,* |
| *Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ* | *Τί με λέγεις ἀγαθόν* |
| *εἷς ἐστιν ὁ ἀγαθός.* | *οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.* |
| *εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν,* | |
| *τήρησον τὰς ἐντολάς.* | *19 τὰς ἐντολὰς οἶδας·* |
| *19·18 λέγει αὐτῷ, Ποίας* | |
| *ὁ δὲ Ἰησοῦς εἶπεν,* | |
| *Τὸ Οὐ φονεύσεις,* | *Μὴ φονεύσῃς,* |
| *Οὐ μοιχεύσεις,* | *Μὴ μοιχεύσῃς,* |
| *Οὐ κλέψεις,* | *Μὴ κλέψῃς,* |
| *Οὐ ψευδομαρτυρήσεις,* | *Μὴ ψευδομαρτυρήσῃς,<br>Μὴ ἀποστερήσῃς,* |
| *19 Τίμα τὸν πατέρα καὶ* | *Τίμα τὸν πατέρα σου καὶ* |
| *τὴν μητέρα,* | *τὴν μητέρα.* |
| *καί, Ἀγαπήσεις τὸν πλησίον σου<br>ὡς σεαυτόν.* | |
| *19·20 λέγει αὐτῷ ὁ νεανίσκος,* | *10·20 ὁ δὲ ἔφη αὐτῷ,<br>Διδάσκαλε,* |
| *Πάντα ταῦτα ἐφύλαξα·* | *ταῦτα πάντα ἐφυλαξάμην<br>ἐκ νεότητός μου.* |
| *τί ἔτι ὑστερῶ* | |
| | *ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ<br>ἠγάπησεν αὐτὸν* |
| *19·21 ἔφη αὐτῷ ὁ Ἰησοῦς,* | *καὶ εἶπεν αὐτῷ,* |
| *Εἰ θέλεις τέλειος εἶναι,* | *Ἕν σε ὑστερεῖ·* |
| *ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα* | *ὕπαγε ὅσα ἔχεις πώλησον* |
| *καὶ δὸς τοῖς πτωχοῖς,* | *καὶ δὸς τοῖς πτωχοῖς,* |
| *καὶ ἕξεις θησαυρὸν* | *καὶ ἕξεις θησαυρὸν* |
| *ἐν οὐρανοῖς,* | *ἐν οὐρανῷ,* |
| *καὶ δεῦρο ἀκολούθει μοι.* | *καὶ δεῦρο ἀκολούθει μοι.* |
| *19·22 ἀκούσας δὲ ὁ νεανίσκος* | *10·22 ὁ δὲ στυγνάσας* |
| *τὸν λόγον* | *ἐπὶ τῷ λόγῳ* |

| Matt 19:16-30 | Mark 10:17-31 |
| --- | --- |
| ἀπῆλθεν λυπούμενος, | ἀπῆλθεν λυπούμενος, |
| ἦν γὰρ ἔχων κτήματα πολλά. | ἦν γὰρ ἔχων κτήματα πολλά.<br>10·23 Καὶ περιβλεψάμενος |
| 19·23 Ὁ δὲ Ἰησοῦς εἶπεν | ὁ Ἰησοῦς λέγει |
| τοῖς μαθηταῖς αὐτοῦ, | τοῖς μαθηταῖς αὐτοῦ, |
| Ἀμὴν λέγω ὑμῖν ὅτι πλούσιος | |
| δυσκόλως | Πῶς δυσκόλως<br>οἱ τὰ χρήματα ἔχοντες |
| εἰσελεύσεται | |
| εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. | εἰς τὴν βασιλείαν τοῦ θεοῦ<br>εἰσελεύσονται. |
| | 10·24 οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς, Τέκνα, πῶς δύσκολόν ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν· |
| 24 πάλιν δὲ λέγω ὑμῖν, | |
| εὐκοπώτερόν ἐστιν | εὐκοπώτερόν ἐστιν |
| κάμηλον διὰ τρυπήματος | κάμηλον διὰ τῆς τρυμαλιᾶς |
| ῥαφίδος διελθεῖν | τῆς ῥαφίδος διελθεῖν |
| ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. | ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. |
| 19·25 ἀκούσαντες δὲ οἱ μαθηταὶ | οἱ δε |
| ἐξεπλήσσοντο σφόδρα | περισσῶς ἐξεπλήσσοντο |
| λέγοντες, | λέγοντες πρὸς ἑαυτούς, |
| Τίς ἄρα δύναται σωθῆναὶ<br>19·26 ἐμβλέψας δὲ | Καὶ τίς δύναται σωθῆναὶ<br>10·27 ἐμβλέψας αὐτοῖς |
| ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, | ὁ Ἰησοῦς λέγει, |
| Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν | Παρὰ ἀνθρώποις ἀδύνατον |
| ἐστιν, | |
| | ἀλλ οὐ παρὰ θεῷ, |
| παρὰ δὲ θεῷ πάντα δυνατά. | πάντα γὰρ δυνατὰ παρὰ τῷ θεῷ. |
| 19·27 Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, | 10·28 Ἤρξατο λέγειν ὁ Πέτρος αὐτῷ, |
| Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα | Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα |
| καὶ ἠκολουθήσαμέν σοι· | καὶ ἠκολουθήκαμέν σοι. |
| τί ἄρα ἔσται ἡμῖν 19·28 ὁ δὲ | |
| Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν | |
| λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, | |
| καθήσεσθε καὶ ὑμεῖς | |

| Matt 19:16-30 | Mark 10:17-31 |
|---|---|
| *ἐπὶ δώδεκα θρόνους* | |
| *κρίνοντες τὰς δώδεκα φυλὰς* | |
| *τοῦ Ἰσραήλ.* | |
| | *10·29 ἔφη ὁ Ἰησοῦς,*<br>*Ἀμὴν λέγω ὑμῖν,* |
| *29 καὶ πᾶς ὅστις ἀφῆκεν* | *οὐδείς ἐστιν ὃς ἀφῆκεν* |
| *οἰκίας* | *οἰκίαν* |
| *ἢ ἀδελφοὺς ἢ ἀδελφὰς* | *ἢ ἀδελφοὺς ἢ ἀδελφὰς* |
| *ἢ πατέρα ἢ μητέρα ἢ τέκνα* | *ἢ μητέρα ἢ πατέρα ἢ τέκνα* |
| *ἢ ἀγροὺς* | *ἢ ἀγροὺς* |
| *ἕνεκεν τοῦ ὀνόματός μου* | *ἕνεκεν ἐμου*<br>*καὶ ἕνεκεν τοῦ εὐαγγελίου,*<br>*30 ἐὰν μὴ λάβῃ* |
| *ἑκατονταπλασίονα λήμψεται* | *ἑκατονταπλασίονα*<br>*νῦν ἐν τῷ καιρῷ τούτῳ*<br>*οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς*<br>*καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς*<br>*μετὰ διωγμῶν,* |
| *καὶ* | *καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ* |
| *ζωὴν αἰώνιον κληρονομήσει.* | *ζωὴν αἰώνιον.* |
| *30 Πολλοὶ δὲ ἔσονται πρῶτοι*<br>*ἔσχατοι* | *31 πολλοὶ δὲ ἔσονται πρῶτοι*<br>*ἔσχατοι* |
| *καὶ ἔσχατοι πρῶτοι.* | *καὶ οἱ ἔσχατοι πρῶτοι.* |

244 words out of 548 = 46%